Σχόλια. Καλεῖς δὲ τῶ κλύειν θέλων.] εἴσθεσις περιόδου ἀμοιβαίας κώλων κζ ἰαμβικῶν διμέτρων μὲν πλὴν τῶ ἑνδεκάτου καὶ κδ τετραμέτρων ὄντων, ἀκαταλήκτων δὲ πλὴν τῶ τελευταίου. τοῦτο γὰρ ἐφθημιμερές. ἔτι γε μὴν τῶν δ ε ϛ ζ ή. ἀντισπαστικῶν διμέτρων διιάμβοις A ἐπιτείτοις ἐπιμεμιγμένων καὶ σπονδείοις πλὴν τοῦ ζ ἀκαταλήκτων. τοῦτο γὰρ Φερεκράτειον. ἔτι τῶν κ κα κβ κγ. παιωνικῶν ἐφθημιμερῶν. τὰ δὲ τοιαῦτα δῆλον ὡς ἀσυνάρτητα. ἐπὶ τῷ τέλει παράγραφος.

Επ. Ξείνω σοφῆς ἀφ' Ελλάδος.
Χο. Τύχη δὲ ποία κομίζει,
Πότ' αὐτὼ, πρὸς ὄρνις ἐλθεῖν.
Επ. Ερως βίου διαίτης τε.
B Καὶ σοῦ ξυνοικεῖν τέ σοι.
Καὶ ξυνεῖναι τὸ πᾶν. Χο. τί φῄς.
Λέγουσι δὲ δὴ τίνας λόγους;
Επ. Απιστα καὶ πέρα κλύειν.
Χο. Ορᾷ τί κέρδος ἐνθάδ' ἄξιον μονῆς.
Οτῳ πέποιθε μοι ξυνών.
C Κρατεῖν ἂν ἢ τὸν ἐχθρὸν, ἢ
Φίλοισιν ὠφελεῖν ἔχειν;
Επ. Λέγει μέγαν τιν' ὄλβον. οὔ-
Τε λεκτὸν, οὔτε πιστόν. ὡς
Σὰ ταῦτα γὰρ δὴ πάντα καὶ
Τὸ τῇδε καὶ τὸ κεῖσε καὶ
Τὸ δεῦρο προσβιβᾷ λέγων.
Χο. Πότερα μαινόμενος;
Επ. Αφατον ὡς φρόνιμος.
D Χο. Ενι σοφόν τι φρενί;
Επ. Πυκνότατον, κίναδος.
Σόφισμα. κύρμα. τρῖμμα. παιπάλημ' ὅλον.
Χο. Λέγειν κέλευε μοι λέγειν.
Κλύων γὰρ ὧν σύ μοι λέγεις,
Λόγων ἀνεπτέρωμαι.

Ep. *Hospites sapienti à Græcia.*
Cho. *Fortuna autem qualis portat*
*Aliquando ipsos ad aues venire.*
Ep. *Amor vitæ, diatæq;*
*Et tui, cohabitaréque tibi,*
*Et simul esse semper.* cHo. *quid dicis?*
*Dicunt autem iam quos sermones?*
Ep. *Incredibilia & vltrà audire.*
Cho. *Vides quod lucrum hic dignum mansione,*
*Quo persuasus est mihi coexistens*
*Vincere an inimicum, an*
*Amicis prodesse posse?*
Ep. *Dicit magnam quandam opulentiam, neque dicibilem, neque credibilem, quòd*
*Tua hæc enim iam omnia, &*
*Hic & illic, &*
*Huc accedit dicens.*
Cho. *Vtrum furens?*
Ep. *Ineffabile valde prudens.*
CH. *Est sapiens aliquid menti?*
EP. *Prudens vulpes,*
*Sophisma, inuentum, tritauum, flos totum.*
CH. *Dicere iube mihi dicere.*
*Audiens enim quæ tu mihi dicis,*
*Verbis superuolo.*

Σχόλια. Σοφῆς ἀφ' Ελλάδος.] ἢ ὅτι σοφῶν οἰκητήριον ἡ Αττικὴ, ἢ καθὸ οἱ βάρβαροι ἐφρόνουν περὶ Ελλήνων ὡς νοερωτάτων. Ορᾷ τί κέρδος.] γράφεται καὶ χωρὶς τῶ ι, ἵνα ᾖ προστακτικόν. γράφεται δὲ καὶ μετὰ τῶ ι. ἵνα ᾖ ἐρωτηματικόν. ὡς ὁ λόγος, ὁρᾷ τις αὐτῶν ὠφέλειαν διαγωγῆς μᾶλλον παρ' ἡμῖν οὖσαν, ἢ κατὰ κράτησιν ἐχθρῶν, ἢ φίλους ὠφελῆσαι. ἐν οἷς μάλιστα ἥδονται οἱ ἄνθρωποι. σημειωτέον δὲ, ὅτι ἑνικὸν εἶπεν ἐπὶ τῶν δύο, καὶ τὸ κρατεῖν συνέταξεν αἰτιατικῇ. Σὰ δὲ ταῦτα πάντα ἃ ἐν τῷ κόσμῳ εἰσί. Τὸ τῇδε καὶ τὸ κεῖσ' ἔτι] ἤγουν τὸν οὐρανὸν καὶ τὴν γῆν. τοῦτο ἐκ τῶν μηδέπω διδαχθεισῶν Φοινισσῶν φησί, καὶ τὸ κεῖσε καὶ τὸ δεῦρο. καὶ ὅλως πολὺ παρὰ πᾶσι E τοιοῦτος. προσβιβᾷ δὲ συνεφαρμόζει. Αφατον ὡς φρόνιμος.] ὡς ἀφάτως φησὶ καὶ μεγίστως φρονῶν ἐρεῖ ταῦτα. ἢ ἀντὶ τῶ μεγάλως. Κίναδος.] ἀπὸ κοινοῦ τὸ ἔνεστιν αὐτοῖς. τὸ δὲ κύρμα, ἀντὶ τῶ ἐπιτυγχάνοντες ἐν πᾶσιν. ἄλλως. κίναδος. ἀντὶ τῶ πάνυ φρόνιμος. κίναδος γὰρ ἡ ἀλώπηξ. Σόφισμα. κύρμα] ἐπιτατικὸν παρὰ τὸ κυρεῖν. ἄλλως. ἔντευγμα. σπάραγμα τῶ νοῦ. τρῖμμα δὲ ὁ τετριμμένος ἐν τοῖς πράγμασιν. ἢ κύρμα πολλοῖς ἐγκεκυρηκὼς πράγμασι. παιπάλημα δὲ, πολλὰς ἐκτροπὰς καὶ διαδοχὰς ἔχων. κυρίως δὲ τὸ λεπτὸν ἄλευρον. Ανεπτέρωμαι] F οἰκεῖον ὄρνεσι τὸ ἀνεπτέρωμαι ἀντὶ μετεωρίσμαι.

## ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ ἐκ σίχων ιζ.

Επ. Αγε δὴ σὺ καὶ σὺ τὴν πανοπλίαν πάλιν
G Ταύτην λαβόντε, κρεμάσατον τύχῃ 'γαθῇ
Εἰς τὸν ἰπνὸν εἴσω, πλησίον τοῦ πιστάτου.
Σὺ δὲ τούσδ' ἐφ' οἷσπερ τοῖς λόγοις ξυνέλεξ' ἐγὼ,
Φράσον δίδαξον. Πει. μὰ τὸν Απόλλω 'γὼ μὲν οὔ.
Ην μὴ διάθωνταί γ' οἵδε διαθήκην ἐμοί,

## Constitvtio Per circuncisionem.

EP. *Age, iam tu & tu armaturam rursus*
*Hanc capientes, suspendite fortunæ bonæ*
*In coquinam intro prope clauum.*
*Tu autem hos in quibus sermonibus condixi ego,*
*Dic, doce.* Pi. *per Apollinem ego quidem non,*
*Si non disponant hi testamentum mihi,*